# Παρακλητικός κανών εις τον άγιον Διονύσιον Ζακύνθου , αρχιεπίσκοπον Αιγίνης



Ευλογήσαντος του ιερέως λέγομεν τον Ψαλμόν ΡΜΒ΄ (142)
Κύριε εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσόν μου εν τη δικαιοσύνη σου.
Και μη εισέλθεις εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζων.
Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου. εταπείνωσεν εις γην την ζωήν μου.
Εκάθισέ με εν σκοτεινοίς, ως νεκρούς αιώνος. Και ηκηδίασεν επ’ εμέ το πνεύμα μου, εν εμοί εταράχθη η καρδία μου.
Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτων. Διεπέτασα προς σε τα χείρας μου. η ψυχή μου ως γη άνυδρός σοι.
Ταχύ εισάκουσόν μου, Κύριε, εξέλιπε το πνεύμα μου.
Μη αποστρέψεις το πρόσωπόν σου απ’ εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκκον.
Ακουστόν ποίησον μοι το πρωί το έλεός σου, ότι επί σοι ήλπισα.
Γνώρισόν μοι, Κύριε, οδόν, εν η πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου
Εξελού με εκ των εχθρών μου, Κύριε. προς σε κατέφυγον, δίδαξόν με του ποιείν το θέλημά σου, ότι συ ει ο Θεός μου.
Το Πνεύμα σου το αγαθόν οδηγήσει με εν γη ευθεία. ένεκεν του ονόματός σου, Κύριε, ζήσεις με.
Εν τη δικαιοσύνη σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει σου

εξολοθρεύσεις τους εχθρούς μου. και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλός σού ειμί.

**Ήχος δ΄**

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. α΄. Εξομολογείσθε τω Κυρίω, και επικαλείσθε το όνομα το άγιον αυτού.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. β΄. Πάντα τα έθνη εκύκλωσάν με και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. γ΄. Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

**Ήχος δ΄. Τη Θεοτόκω εκτενώς.**

Διονυσίου ιεραίς μεσιτείαις, παθών ποικίλων πειρασμών και κινδύνων, τους σους ικέτας λύτρωσαι Χριστέ ο Θεός, οίκτειρον το πλάσμα σου, ως Θεός ελεήμων, σώσον τους υμνουντάς σε, από βλάβης παντοίας˙ σοι γαρ βοώμεν πάντες εκτενώς, μη υπερόψη ημάς πολυεύσπλαγχνε.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Διονυσίου ιεραίς μεσιτείαις, παθών ποικίλων πειρασμών και κινδύνων, τους σους ικέτας λύτρωσαι Χριστέ ο Θεός, οίκτειρον το πλάσμα σου, ως Θεός ελεήμων, σώσον τους υμνουντάς σε, από βλάβης παντοίας˙ σοι γαρ βοώμεν πάντες εκτενώς, μη υπερόψη ημάς πολυεύσπλαγχνε.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Ου σιωπήσωμεν ποτε, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι. ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων; τις δε διεφύλαξεν, έως νυν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σου. σους γαρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

**Ο Ν΄ (50) ΨΑΛΜΟΣ**

Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου, εξάλειψον το ανόμημά μου.

Επί πλείον πλύνον με από της ανομίας μου, και από της αμαρτίας μου καθάρισόν με.

Ότι την ανομίαν μου εγώ γινώσκω και η αμαρτία μου ενώπιόν μού εστί δια παντός.

Σοι μόνω ήμαρτον, και το πονηρόν ενώπιόν σου εποίησα. όπως αν δικαιωθείς εν

τοις λόγοις σου, και νικήσεις εν τω κρίνεσθαί σε.
Ιδού γαρ εν ανομίαις συνελήφθην, και εν αμαρτίαις εκίσσησέ με η μήτηρ μου.
Ιδού γαρ αλήθεια ηγάπησας. τα άδηλα και τα κρύφια της σοφίας σου εδήλωσάς μοι.
Ραντιείς με υσσώπω, και καθαρισθήσομαι. πλυνείς με και υπέρ χιόνα λευκανθήσομαι.
Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην. αγαλλιάσονται οστέα τεταπεινωμένα.
Απόστρεψον το πρόσωπόν σουαπό των αμαρτιών μου, και πάσας τας ανομίας μου εξάλειψον.
Καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός, και πνεύμα ευθές εγκαίνισον εν τοις εγκάτοις μου.
Μη απορρίψεις με από του προσώπου σου, και το Πνεύμα σου το άγιον μη αντανέλεις απ’ εμού.
Απόδος μοι την αγαλλίασιν του σωτηρίου σου, και πνεύματι ηγεμονικώ στήριξόν με.
Διδάξω ανόμους τας οδούς σου, και ασεβείς επί σε επιστρέψουσι.
Ρύσαι με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου. αγαλλιάσεται η γλώσσα μου την δικαιοσύνην σου.
Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αίνεσίν σου.
Ότι, ει ηθέλησας θυσίαν, έδωκα αν. ολοκαυτώματα ουκ ευδοκήσεις.
Θυσία τω Θεώ πνεύμα συντετριμμένον. καρδία συντετριμμένην και τεταπεινωμένην, ο Θεός, ουκ εξουδενώσει.
Αγάθυνον, Κύριε, εν τη ευδοκία σου την Σιών, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ.
Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα. τότε ανοίσουσιν επί το θυσιαστήριόν σου μόσχους.

**Ωδή α΄. Ήχος πλ. δ’ . Αρματηλάτην Φαραώ...**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Γλωττοστροφούντας αφυείς απέδειξας, εν τω υμνήσαι τα σα· υλικών γαρ φύσιν, πάσαν υπερέβαλες, τη της ζωής λαμπρότητι, ουρανών όθεν νόες, άφθαρτα στέφη σε έθηκαν, άσαρκον ορώντές σε άνθρωπον.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Ιχθυοβόλους τη καινή εξέπληξας, άγρα πεισθέντας εν σοι, ψυχοβλαβή πλάνην, μετά τούτο έπαυσας, ανδρών τοιούτων θαύματι, ιερέων παρόντων, αποτυγχάνειν του πράγματος, τούτους νουθετών Διονύσιε.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Όλον τον πόθον προς Θεόν ανέθηκας, από νεότητος, και του κόσμου πάντα, τα ηδέα πάνσοφε, και της σαρκός προσπάθειαν, βδελυξάμενος όντως, εγένου όλος ουράνιος, και κατοικητήριον πνεύματος.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**
Ανάρχου Μήτερ εξειπείν τα τέρατα, τις εξισχύει ποτέ; Όσα περ ειργάσω, τον Θεόν βαστάσασα, εν τη γαστρί σου έμβρυον, απαρχή σωτηρίας, της των ανθρώπων υπάρξασα, τέλος και των τούτοις κακώσεων.
**Ωδή γ'. Ουρανίας αψίδος.**
**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**
Της ψυχής καθορών σου, το νουνεχές ένδοξε, άπας της Αιγίνης ο Δήμος, σε προχειρίζεται, Ποιμένα άριστον, και Ιεράρχην φωσφόρον, νεύσει του Παντάνακτος καθοδηγούμενος.
**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**
Σε προβάλλεται πρέσβυν, η ση πατρίς Ζάκυνθος, έχουσα εν κόλποις σον σκήνος, το θαυματόβρυτον, εξ ού προχέονται, τοις προσιούσιν εν πίστει, νάμματα σωτήρια ώ Διονύσιε.
**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**
Συμπληροίς τας αιτήσεις, τερατουργέ άπασιν˙ επί σοι γαρ χάρις θεόθεν, πάσα κεκένωται, και των θαυμάτων των σων, ούκ έστι πέρας αντλήσαι, της Ζακύνθου γέννημα, ώ Διονύσιε.
**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**
Ουρανών πλατυτέρα, η ση γαστήρ δείκνυται, πάναγνε παρθένε Μαρία, θεοχαρίτωτε˙ ο γαρ αχώρητος, παντί τω κόσμω εδείχθη, χωρητός εν μήτρα σου, καθώς ηυδόκησε.
Ναυάγησον, των πολεμίων την έφοδον Ιεράρχα, πάντας σκέπων αεί θερμώς, τους εις σε καταφεύγοντας, και φάνηθι δούλοις σου προστασία.
Επίβλεψον εν ευμενεία πανύμνητε θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.
**Αίτησις και το Κάθισμα.**
**Ήχος β΄. Πρεσβεία θερμή.**
Χριστέ Ιησού, ελέησον τους δούλους σου, πρεσβεύει θερμώς, ο μέγας Διονύσιος, ταις αυτού δεήσεσι, ψυχικών κινδύνων ημάς απάλλαξον, και θείας δόξης δείξον κοινωνούς, ο μόνος δοξάζων τους αγίους σου.
**Ωδή δ΄. Συ μου ισχύς, Κύριε.**
**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**
Όλον τον νούν, προς ουρανόν ανεπτέρωσας, και ψυχήν σου, Πάτερ κατελάμπρυνας, τη ποικιλία των αρετών, γενόμενος όλος, κατοικητήριον πνεύματος˙ διο την των θαυμάτων, κομισάμενος χάριν, ιατρός ανεδείχθης πανάριστος.
**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**
Οι εν δεινοίς, κατατηκόμενοι πάθεσι, και παντοίαις νόσοις πιεζόμενοι τω σω τεμένει μετά σπουδής, πίστει προσελθόντες, και σκήνος σον ασπαζόμενοι, τρυγώσι τας ιάσεις, των ψυχών και σωμάτων, σαις λιταίς προς Θεόν Διονύσιε.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Σε βοηθόν, κέκτηται όντως και πρόμαχον, των Στροφάδων, Μονή η σεβάσμιος, και οι μακάριοι εν αυτή, ασκούντες πατέρες, τη σκέπη σου εναμβρύνονται, λυτρούμενοι παντοίων, πειρασμών τε και νόσων, και ποικίλων βελών του αλάστορος.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Των ουρανών, αι τάξεις πάσαι εξέστησαν, θεωρούσαι, ως βροτόν γενόμενον, τον προ αιώνων εκ του Πατρός, αρρεύστως τεχθέντα, και κόσμον δημιουργήσαντα, διο μεγαλοφώνως, ουρανόθεν εβόων, τη δυνάμει σου˙ δόξα φιλάνθρωπε.

**Ωδή ε΄. Ίνα τι με απώσω.**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Ώστερ στύλω νεφέλης, πάλαι τοις αγίοις σου ελάλεις Κύριε, Σαμουήλ Μωσεί τε, τοις τηρούσι τα θεία προστάγματα, ούτω νυν παράσχου, Διονυσίου ταις πρεσβείαις, ημίν πάσι πταισμάτων την άφεσιν.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Όρμος πάσιν εδείχθης, θαλαττοπορούσι, μεγάλω εν κλύδωνι, και επικαλούσι, το σον όνομα Πάτερ το άγιον˙ φθάνεις γαρ ταχέως, και τοις στοιχείοις επιτάττεις, αοράτως πραΰναι την έφοδον.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Δανιήλ εξεπλάγη, παραδόξως ορών σε, λαμπρώς ιστάμενον, θυτών αναμέσον, λευκοφόρων σεπτώς λειτουργούντων σοι, όθεν προσεφώνει, συ αληθώς μετά Αγίων, και Αγγέλων συμψάλλεις τω κτίστη σου.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Ως προ τόκου Παρθένος, και μετά τόκον πάλιν, Παρθένος διέμεινας, Κεχαριτωμένη˙ δια σου γαρ ο Λόγος ο άναρχος, εισελθών ως οίδε, και εξελθών θεοκυήτορ, παραδόξως αγνήν σε ετήρησεν.

**Ωδή στ'. Την δέησιν εκχεώ προς Κύριον.**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Ικέτευε, εκτενώς πανάριστε, προς Θεόν εν πειρασμοίς και κινδύνοις, ότι φρουρόν προσκαλεί σε πατρίς σου, και αλλοφύλοις καυχάσθαι ως εύρηκε, σε πρύτανιν και βοηθόν, και την ήτταν εν πάσι δωρούμενον.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Τον Κτίστην, επί Σταυρού μιμούμενος, υπεδέξω τον συγγόνου φονέα, επιεικώς, τούτον εναποκρύψας, τοις γλυκυτάτοις σου τρόποις αείμνηστε, και δίωξιν την επ' αυτόν, αντηλλάξω τη δείξει αλλότριον.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Την θείαν, περικυκλούντες λάρνακα, του σου σκήνους Διονύσιε Πάτερ, όλη ψυχή και καρδία βοώμεν, σώσον ημάς, ταις πρεσβείαις σου Άγιε, και λύτρωσαι παντοδαπών, συμφορών τους πιστώς ανυμνούντάς σε.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Συμφώνως, οι δια σου σωζόμενοι, θεομήτορ την φωνήν σοι βοώμεν, του Γαβριήλ, χαίρε Δέσποινα κόσμου, χαίρε Αδάμ και της Εύας η λύτρωσις, του Λόγου χαίρε και Θεού, το ευρύχωρον όντως παλάτιον.

Ναυάγησον των πολεμίων την έφοδον Ιεράρχα, πάντας σκέπων αεί θερμώς, τους εις σε καταφεύγοντας, και φάνηθι δούλοις σου προστασία.

Άχραντε, η διά λόγου τον Λόγον ανερμηνεύτως επ' εσχάτων των ημερών τεκούσα, δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

**Αίτησις και το Κοντάκιον.**

**Ήχος β΄. Την εν πρεσβείαις ακοίμητον Θεοτόκον.**

Την σην Μητέρα, προσάγομεν εις πρεσβείαν, ως προστασίαν, και κραταίωμα και σκέπην, πάντων και καύχημα και αντίληψιν, αυτής ταις ικεσίαις πάντας ημάς ελέησον, ο μόνος υπάρχων πολυέλεος.

**Προκείμενον. Ήχος δ΄.**

Οι ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην, και οι Όσιοί σου αγαλιάσονται.

**Στίχος.** Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

**Ευαγγέλιον. Εκ του κατά Ιωάννην. (Ι'. 1- 9).**

Είπεν ο Κύριος προς τους εληλυθότας προς αυτόν Ιουδαίους. Αμήν αμήν λέγω υμίν. ο μη εισερχόμενος δια της θύρας εις την αυλήν των προβάτων, αλλά αναβαίνων αλλαχόθεν, εκείνος κλέπτης εστί και ληστής˙ ο δε εισερχόμενος δια της θύρας ποιμήν εστί των προβάτων. Τούτω ο θυρωρός ανοίγει, και τα πρόβατα της φωνής αυτού ακούει, και τα ίδια πρόβατα καλεί κατ' όνομα, και εξάγει αυτά. Και όταν τα ίδια πρόβατα εκβάλη, έμπροσθεν αυτών πορεύεται, και τα πρόβατα αυτώ ακολουθεί, ότι οίδασι την φωνήν αυτού. Αλλοτρίω δε ου μη ακολουθήσωσιν, αλλά φεύξονται απ' αυτού, ότι ούκ οίδασι των αλλοτρίων την φωνήν. Ταύτην την παροιμίαν είπεν αυτοίς ο Ιησούς˙ εκείνοι δε ούκ έγνωσαν τίνα ήν α ελάλει αυτοίς. Είπεν ούν πάλιν αυτοίς ο Ιησούς˙ Αμήν αμήν λέγω υμίν, ότι εγώ ειμί η θύρα των προβάτων. Πάντες, όσοι ήλθον προ εμού, κλέπται εισί και λησταί˙ άλλ΄ ούκ ήκουσαν αυτών τα πρόβατα. Εγώ ειμί η θύρα˙ δι' εμού εάν τις εισέλθη, σωθήσεται, και εισελεύσεται, και εξελεύσεται, και νομήν ευρήσει.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Ταις του Ιεράρχου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Ταις της Θεοτόκου πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχος. Ελεήμον, ελέησόν με ο Θεός...

**Ήχος Πλ. β΄. Όλην αποθέμενοι.**

Δέσποτα φιλάνθρωπε, ο θαυμαστός εν αγίοις, αυτός τα ελέη σου, εν εμοί

θαυμάστωσον, ανεξίκακε, και δεινών λύτρωσαι, ως Θεός δώρησαι, και τυχείν με καταξίωσον, της θείας δόξης σου, θείαις της Μητρός σου εντεύξεσιν, ως και απολυτρώσεως, της ατελευτήτου κολάσεως, ταις του Ιεράρχου σεπτού Διονυσίου προσευχαίς, ίνα υμνώ και δοξάζω σε, τον Θεόν και πλάστην μου.
Σώσον ο Θεός τον Λαόν σου.....

**Ωδή ζ΄. Παίδες Εβραίων.**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Κόσμου μισήσας τα ηδέα, τα ουράνια επόθησας τρισμάκαρ, και βιώσας εν γη ως άσαρκος τα γέρα, εις ουρανούς απείληφας, παρά του μισθαποδότου.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Πηγή ανεξάντλητος υπάρχει, το πανσέβαστον και άγιόν σου σκήνος˙ αεννάως και γαρ, τοις κάμνουσι παρέχει, ιάματα σωτήρια, Διονύσιε λιταίς σου.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Δέξαι τους ύμνους Ιεράρχα, ούς προσφέρει σοι λαός των Ζακυνθίων, ασιγήτοις φωναίς, και τούτον εκ παντοίων, κινδύνων ελευθέρωσον, τη θερμή σου προστασία.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Υμνώ σου τον Τόκον Θεοτόκε, και ον έτεκες ασπόρως και εν χρόνω, ως Θεός αληθώς και άνθρωπον δοξάζω˙ διπλούς γαρ πεφανέρωται, τοις ανθρώποις εν τω κόσμω.

**Ωδή η΄. Τον εν όρει αγίω δοξασθέντα.**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Ικετεύειν, μη παύση ταις λιταίς σου, των απάντων Κτίστην τροφέα και ποιμένα˙ σε πρέσβυν γαρ καλούμεθα αείποτε, χρείαις τε και νόσοις, ότι σου ακούει, προθύμως εις αιώνας.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Ηνωμένος, τω Κτίστη από βρέφους, διεπράξω έργα ως ουρανοπολίτης, την επί γης ευπάθειαν μισούμενος, δόξαν τε και πλούτον, άνω νύν χορεύεις, συνάμα τοις Αγγέλοις.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Τίς προσήλθε, πιστώς τω σω τεμένει, ένθα βρύει πηγή η των θαυμάτων, και του σου πανσέπτου σκήνους σου αψάμενος, τας αιτήσεις πάσας, και τας ιατρείας, ούκ είληφεν ευθέως;

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Παραδείσου, ανοίγονται αι πύλαι, και φλογίνη παραχωρεί ρομφαία, και των ανθρώπων γένος διασώζεται, του Θεού και Λόγου, σάρκα ειληφότος, εξ απειράνδρου Κόρης.

**Ωδή θ΄. Εξέστη επί τούτω ο ουρανός.**

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Το άκρον αγαπήσας των εφετών, και δουλεύσας εν βίω Μακάριε, πάσι πιστοίς, ώφθης θαυματόβρυτος ποταμός, και ως αγάπης άγαλμα, άφθαρτος διέμεινας επί γης, της όντως θεαρέστου, διόπερ σε δικαίως, υμνολογούμεν Διονύσιε.

**Άγιε του Θεού, πρέσβευε υπέρ ημών.**

Αι τάξεις των Αγγέλων εξ ουρανού, κατελθούσαι βουλή του ποιήσαντος, σου το σεπτόν, πνεύμα Ιεράρχα περιχαρώς, δεξάμεναι προσέφερον, τούτω ένθα χαίρουσιν αι ψυχαί, απάντων των αγίων, και ψάλλουσι τω Κτίστη, δοξολογίαν την τρισάγιον.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Ψυχήν σου την αγίαν εις ουρανούς, μετά δόξης ο Κτίστης κατέθετο, το δε σεπτόν, σώμά σου και πάντιμον εν τη γη, άφθορον διετήρησεν, όπερ εν τοις κόλποις ως θησαυρόν, η Ζάκυνθος κατέχει, ήν φρούρει σαις πρεσβείαις, ώ Ιεράρχα Διονύσιε.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Η μήτρα σου εδείχθη των Ουρανών, πλατυτέρα πανάμωμε Δέσποινα˙ τον γαρ Θεόν, έτεκες ασπόρως υπερφυώς, και δια σου ερρύσθημεν, πάντες της δουλείας του πονηρού, διο Παρθενομήτορ, τους σε υμνολογούντας, ρύσαι εκ κινδύνων ταις πρεσβείαις σου.

Άξιον εστιν ως αληθώς μακαρίζειν Σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών.

Την τιμιωτέραν των Χερουβίμ, και ενδοξοτέραν ασυγκρίτως των Σερουφείμ, την αδιαφθόρως, Θεόν Λόγον τεκούσαν. την όντως Θεοτόκον, Σε μεγαλύνομεν.

**Και τα Μεγαλυνάρια.**

Χαίροις ο Ζακύνθου γόνος λαμπρός, πρόεδρος Αιγίνης, και Στροφάδων μέγας φρουρός, χαίροις Εκκλησίας, φωστήρ νέος τρισμάκαρ, Αρχιερέων κλέος, ώ Διονύσιε.

Μένων εν αγάπη, εν τω Θεώ έμεινας θεόφρον, και σον κτείναντος αδελφόν, ενθέως εφείσω, τη προς Θεόν αγάπη. Διο Χριστώ συγχαίρεις, νύν Διονύσιε.

Δέσποτα Χριστέ ο Θεός ημών, οικτείρησον πάντας, και ελέησον σον λαόν, ταις Διονυσίου θερμαίς ικετηρίαις, και σου της θείας δόξης, τυχείν αξίωσον.

Χαίροις σελασφόρε Θείε φωστήρ, ο φωτί σου στίλβων, τον ορίζοντα ευσεβών˙ χαίροις ο σου Σκήνως θαύμασι καταρδεύων, την Εκκλησίαν πάσαν ώ Διονύσιε.

Ιερέων σύλλογος ιερός, και άπαν το πλήθος, Ζακυνθίων περιδεώς, το πάνσεπτον Σκήνος ασπασώμεθα όπως, ταις τούτου ικεσίαις ρυσθώμεν θλίψεων.

Χαίροις ο Ζακύνθου θείος βλαστός, και Μονής Στροφάδων, ο ακοίμητος οφθαλμός, χαίροις της Αιγίνης ο μέγας αντιλήπτωρ αρχιθυτών η δόξα, ώ Διονύσιε.

Δέσποινα Παρθένε Μήτηρ Θεού, συν Διονυσίω, εκδυσώπει τον σον υιόν, ημάς απαλλάξαι, κινδύνων πολυτρόπων, και θλίψεων παντοίων, τους ευφημούντάς σε.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου Αποστόων η δωδεκάς, οι Άγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

**Άγιος ο Θεός, άγιος Ισχυρός, άγιος Αθάνατος ελέησον ημάς (γ΄).**

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι, και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Παναγία Τριάς, ελέησον ημάς. Κύριε, ιλάσθητι ταις αμαρτίαις ημών. Δέσποτα, συγχώρησον τας ανομίας ημίν. Άγιε, επίσκεψαι και ίασαι τας ασθενείας ημών ένεκεν του ονόματός σου. Κύριε, ελέησον. Κύριε ελήσον. Κύριε ελέησον.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νυν και αεί και εις τους αιώνας των αιώνων.**

Πάτερ ημών ο εν τοις ουρανοίς αγιασθήτω το όνομά σου . Ελθέτω η βασιλεία σου. Γεννηθήτω το θέλημά σου, ως εν ουρανώ και επίτης γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον. Και άφες ημίν τα οφειλήματα ημών ως και ημείς αφίεμεν τοις οφειλέταις ημών. Και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.

**Ο Ιερεύς.**

Ότι σου εστιν η βασιλεία και η δύναμις και η δόξα του Πατρός και του Υιού και του Αγίου Πνεύματος , νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

**Κατόπιν τα τροπάρια.**

**Ήχος πλ. β΄.**

Ελέησον ημάς, Κύριε, ελέησον ημάς. πάσης γαρ απολογίας απορούντες, ταύτην σοι την ικεσίαν, ως Δεσπότη, οι αμαρτωλοί προσφέρομεν. Ελέησον ημάς.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Κύριε ελέησον ημάς, επί σοι γαρ πεποίθαμεν. μη οργισθής ημίν σφόδρα, μηδέ μνησθής των ανομιών ημών. αλλ’ επίβλεψον και νυν ως εύσπλαχνος, και λύτρωσαι ημάς εκ των εχθρών ημών. συ γαρ ει Θεός ημών, και ημείς λαός σου, πάντες έργα χειρών σου, και το όνομά σου επικεκλήμεθα.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

Της ευσπλαχνίας την πύλην άνοιξον ημίν, ευλογημένη Θεοτόκε. ελπίζοντες εις σε, μη αστοχήσωμεν. ρυσθείημεν δια σου των περιστάσεων. συ γαρ ει η σωτηρία του γένους των χριστιανών.

**Και το παρόν Απολυτίκιον.**

**Ήχος α΄. Του λίθου σφραγισθέντος.**

Της Ζακύνθου τον γόνον και Αιγίνης τον Πρόεδρον, τον φρουρόν Μονής των Στροφάδων, Διονύσιε άπαντες, τιμήσωμεν συμφώνως οι πιστοί, βοώντες προς αυτών ειλικρινώς, σαις λιταίς τους την σην μνήμην επιτελούντας, σώζε και βοώντάς σοι˙ Δόξα τω σε δοξάσαντι Χριστώ˙ δόξα τω σε στεφανώσαντι˙ δόξα τω δωρησαμένω σε ημίν πρέσβυν ακοίμητον.

Εκτενής και απόλυσις, μεθ’ ην ψάλλομεν το εξής:

**Ήχος β΄. Ότε εκ του ξύλου σε νεκρόν.**

Ύμνον παναρμόνιον ιδού, η των σων πιστών συνηγμένη, χορεία ψάλλει σοι˙ μνήμη τη πανσέπτω σου, και τω τεμένει τω σω, ιερώς προστιβάζεται, ψυχή και καρδία, σου το θαυματόβρυτον Σκήνος ασπάσασθαι˙ πάντας αβλαβείς περιφρούρει, θλίψεως παντοίας και βλάβης, Πάτερ Διονύσιε πρεσβείαις σου.